γινόμενα αὐτοῖς ἐστιν ψευδῆ· πῶς οὖν νομιστέον ἢ κλητέον ὥστε
θεοὺς αὐτοὺς ὑπάρχειν;
45 Ὑπὸ τεκτόνων καὶ χρυσοχόων κατεσκευασμένα εἰσίν· οὐθὲν 45
ἄλλο μὴ γένωνται ἢ ὃ βούλονται οἱ τεχνῖται αὐτὰ γενέσθαι. 46 αὐτοί 46
τε οἱ κατασκευάζοντες αὐτὰ οὐ μὴ γένωνται πολυχρόνιοι· πῶς τε
δὴ μέλλει τὰ ὑπ᾽ αὐτῶν κατασκευασθέντα εἶναι θεοί; 47 κατέλιπον 47
γὰρ ψεύδη καὶ ὄνειδος τοῖς ἐπιγινομένοις. 48 ὅταν γὰρ ἐπέλθῃ ἐπ᾽ 48
αὐτὰ πόλεμος καὶ κακά, βουλεύονται πρὸς ἑαυτοὺς οἱ ἱερεῖς ποῦ
συναποκρυβῶσι μετ᾽ αὐτῶν. 49 πῶς οὖν οὐκ ἔστιν αἰσθέσθαι ὅτι 49
οὔκ εἰσιν θεοί, οἳ οὔτε σῴζουσιν ἑαυτοὺς ἐκ πολέμου οὔτε ἐκ
κακῶν; 50 ὑπάρχοντα γὰρ ξύλινα καὶ περίχρυσα καὶ περιάργυρα 50
γνωσθήσεται μετὰ ταῦτα ὅτι ἐστὶν ψευδῆ· τοῖς ἔθνεσι πᾶσι τοῖς
τε βασιλεῦσι φανερὸν ἔσται ὅτι οὐκ εἰσὶ θεοὶ ἀλλὰ ἔργα χειρῶν
ἀνθρώπων, καὶ οὐδὲν θεοῦ ἔργον ἐν αὐτοῖς ἐστιν. 51 τίνι οὖν γνω- 51
στέον ἐστὶν ὅτι οὔκ εἰσιν θεοί;
52 Βασιλέα γὰρ χώρας οὐ μὴ ἀναστήσωσιν οὔτε ὑετὸν ἀνθρώποις 52
οὐ μὴ δῶσιν 53 κρίσιν τε οὐ μὴ διακρίνωσιν αὐτῶν οὐδὲ μὴ ῥύ- 53
σωνται ἀδικούμενον ἀδύνατοι ὄντες· ὥσπερ γὰρ κορῶναι ἀνὰ
μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς. 54 καὶ γὰρ ὅταν ἐμπέσῃ εἰς οἰκίαν 54
θεῶν ξυλίνων ἢ περιχρύσων ἢ περιαργύρων πῦρ, οἱ μὲν ἱερεῖς
αὐτῶν φεύξονται καὶ διασωθήσονται, αὐτοὶ δὲ ὥσπερ δοκοὶ μέσοι
κατακαυθήσονται. 55 βασιλεῖ δὲ καὶ πολεμίοις οὐ μὴ ἀντιστῶσιν. 55
56 πῶς οὖν ἐκδεκτέον ἢ νομιστέον ὅτι εἰσὶν θεοί; 56
57 Οὔτε ἀπὸ κλεπτῶν οὔτε ἀπὸ λῃστῶν οὐ μὴ διασωθῶσιν θεοὶ 57
ξύλινοι καὶ περιάργυροι καὶ περίχρυσοι, ὧν οἱ ἰσχύοντες περιε-
λοῦνται τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὸν ἱματισμὸν τὸν περι-
κείμενον αὐτοῖς ἀπελεύσονται ἔχοντες, οὔτε ἑαυτοῖς οὐ μὴ βοηθή-
σωσιν· 58 ὥστε κρεῖσσον εἶναι βασιλέα ἐπιδεικνύμενον τὴν ἑαυτοῦ 58
ἀνδρείαν ἢ σκεῦος ἐν οἰκίᾳ χρήσιμον, ἐφ᾽ ᾧ χρήσεται ὁ κεκτημένος,
ἢ οἱ ψευδεῖς θεοί· ἢ καὶ θύρα ἐν οἰκίᾳ διασῴζουσα τὰ ἐν αὐτῇ
ὄντα ἢ οἱ ψευδεῖς θεοί, καὶ ξύλινος στῦλος ἐν βασιλείοις ἢ οἱ
ψευδεῖς θεοί. 59 ἥλιος μὲν γὰρ καὶ σελήνη καὶ ἄστρα ὄντα λαμπρὰ 59
καὶ ἀποστελλόμενα ἐπὶ χρείας εὐήκοά εἰσιν· 60 ὡσαύτως καὶ ἀστραπή, 60

44 γενομ. B pau. | αυτοις] pr. παρ A†, pr. εν Q | ωστε] ως B† || 45 εισιν] εστιν A† | ουθεν] + γαρ A(†) | μη] pr. ου A | γενωνται] γενηται B† | οι — fin. > A† || 46 τε δη] ουν A† | ειναι θεοι > B† || 48 επελθη > A† | αυτα] -τους A† || 49 οι > A | πολεμων A†: cf. 13 || 50 εστιν 1⁰] εισιν A | τε > A† | εσται] εστιν A | θεου] ουν A† || 51 γνωστον A | εστιν] ουκ εσται A(†) || 53 αυτων] pr. ε B | αδικουμενον] -κημα B | γαρ κορ.] αι κορ. αι A || 54 πυρ > A† || 55 δε] τε A†: cf. 10 || 56 εκδεκτ. η νομιστ.] η νομιστ. η δεκτ. A || 57 διασωθωσιν] σω > B†, διασωσουσιν A† | απελευσ.] pr. και A | ουτε ult.] οι δε A† || 58 χρησεται] κεχρ. B†: κε ex κεκτημ. seq.? cf. etiam Thack. p. 290 | κεκτημ.] κτησαμενος A† || 59 εισιν] εστιν A